10καὶ εἰσῆλθον καὶ εἶδον καὶ ἰδοὺ μάταια βδελύγματα καὶ πάντα 10
τὰ εἴδωλα οἴκου Ισραηλ διαγεγραμμένα ἐπ᾽ αὐτοῦ κύκλῳ, 11καὶ 11
ἑβδομήκοντα ἄνδρες ἐκ τῶν πρεσβυτέρων οἴκου Ισραηλ, καὶ Ιε-
ζονιας ὁ τοῦ Σαφαν ἐν μέσῳ αὐτῶν εἱστήκει πρὸ προσώπου αὐ-
τῶν, καὶ ἕκαστος θυμιατήριον αὐτοῦ εἶχεν ἐν τῇ χειρί, καὶ ἡ ἀτμὶς
τοῦ θυμιάματος ἀνέβαινεν. 12καὶ εἶπεν πρός με Υἱὲ ἀνθρώπου, 12
ἑώρακας ἃ οἱ πρεσβύτεροι τοῦ οἴκου Ισραηλ ποιοῦσιν, ἕκαστος
αὐτῶν ἐν τῷ κοιτῶνι τῷ κρυπτῷ αὐτῶν; διότι εἶπαν Οὐχ ὁρᾷ ὁ
κύριος, ἐγκαταλέλοιπεν κύριος τὴν γῆν. 13καὶ εἶπεν πρός με Ἔτι 13
ὄψει ἀνομίας μείζονας, ἃς οὗτοι ποιοῦσιν. 14καὶ εἰσήγαγέν με ἐπὶ 14
τὰ πρόθυρα τῆς πύλης οἴκου κυρίου τῆς βλεπούσης πρὸς βορρᾶν,
καὶ ἰδοὺ ἐκεῖ γυναῖκες καθήμεναι θρηνοῦσαι τὸν Θαμμουζ. 15καὶ 15
εἶπεν πρός με Υἱὲ ἀνθρώπου, ἑώρακας; καὶ ἔτι ὄψει ἐπιτηδεύματα
μείζονα τούτων. 16καὶ εἰσήγαγέν με εἰς τὴν αὐλὴν οἴκου κυρίου 16
τὴν ἐσωτέραν, καὶ ἰδοὺ ἐπὶ τῶν προθύρων τοῦ ναοῦ κυρίου ἀνὰ
μέσον τῶν αιλαμ καὶ ἀνὰ μέσον τοῦ θυσιαστηρίου ὡς εἴκοσι ἄν-
δρες, τὰ ὀπίσθια αὐτῶν πρὸς τὸν ναὸν τοῦ κυρίου καὶ τὰ πρόσ-
ωπα αὐτῶν ἀπέναντι, καὶ οὗτοι προσκυνοῦσιν τῷ ἡλίῳ· 17καὶ εἶπεν 17
πρός με Ἑώρακας, υἱὲ ἀνθρώπου; μὴ μικρὰ τῷ οἴκῳ Ιουδα τοῦ
ποιεῖν τὰς ἀνομίας, ἃς πεποιήκασιν ὧδε; διότι ἔπλησαν τὴν γῆν
ἀνομίας, καὶ ἰδοὺ αὐτοὶ ὡς μυκτηρίζοντες. 18καὶ ἐγὼ ποιήσω αὐ- 18
τοῖς μετὰ θυμοῦ· οὐ φείσεται ὁ ὀφθαλμός μου, οὐδὲ μὴ ἐλεήσω.
1Καὶ ἀνέκραγεν εἰς τὰ ὦτά μου φωνῇ μεγάλῃ λέγων Ἤγγικεν 9
ἡ ἐκδίκησις τῆς πόλεως· καὶ ἕκαστος εἶχεν τὰ σκεύη τῆς ἐξολε-
θρεύσεως ἐν χειρὶ αὐτοῦ. 2καὶ ἰδοὺ ἓξ ἄνδρες ἤρχοντο ἀπὸ τῆς 2
ὁδοῦ τῆς πύλης τῆς ὑψηλῆς τῆς βλεπούσης πρὸς βορρᾶν, καὶ
ἑκάστου πέλυξ ἐν τῇ χειρὶ αὐτοῦ· καὶ εἷς ἀνὴρ ἐν μέσῳ αὐτῶν
ἐνδεδυκὼς ποδήρη, καὶ ζώνη σαπφείρου ἐπὶ τῆς ὀσφύος αὐτοῦ·
καὶ εἰσήλθοσαν καὶ ἔστησαν ἐχόμενοι τοῦ θυσιαστηρίου τοῦ χαλ-

10 ιδου B†] + πασα ομοιωσις ερπετου και κτηνους rel. (in *O* sub ※) | και ult.] + ειδον A | κυκλω] + κυκλω Bc = α′ θ′ || 11 και 2⁰ > BQ† | ιεζονιας] χ pro ζ B: cf. 11 1 Ier. 42 3 | τη > A† | χειρι] + αυτου A || 12 υιε ανθρ. / εωρ. (cf. 15 et 6. 17)] tr. B = 𝔐 | του > A | ποιουσιν] + ωδε A | ουχ — fin.] εγκαταλελοιπεν κυριος ουκ εφορα ο κυριος την γην A || 15 εωρ.] + μη μικρα τω οικω ιουδα του ποιειν τας ανομιας ας πεποιηκαν αυτοι ωδε A: cf. 17 || 16 ιδου > B | του 1⁰ > A† | εικοσι B†] + και πεντε rel. (in *O* sub ※) | οπισθ. αυτων] + δεδωκοτες A | του ult. > A | προσεκυνουν A | τω ηλιω B†] pr. κατ ανατολας rel. (in *O* sub ※) || 17 ιουδα] ισραηλ A | και ult. B†] pr. και ε(uel α)πεστρεψαν του(> A†) παροργισαι με rel. (in *O* sub ※) | ως B†] pr. εκτεινουσιν το κλημα rel. (in *O* sub ※) || 18 fin. B†] + και καλεσουσιν εν τοις ωσιν μου φωνη μεγαλη (φ. μ. > A†) και ου μη εισακουσω αυτων uel sim. rel. (in *O* sub ※)

9 1 εκαστος] αυτος A† || 2 ζωνην A | εχομενα A